ἔγνως. καὶ ἡ μωρά, ἄνθρωπος τὶς μακρὸν πυρὸν καὶ
δυόστρογγύλα νευρώδη ἔθηκεν ἐν τῇ κοιλίᾳ μου ἔσω βα-
λὼν καὶ ἔξω ἐντρέχων, ἐνέβαλέ με. κἀγὼ δὲ ἡδέως
ἦχον. ἡ δὲ μήτηρ ἀκούσασα καὶ ἰδοῦσα ἔφη, ὦ τέκνον
ἀπώλεσας καὶ ὃν πρῶτον εἶχες νοῦν. μέλλων δὲ ὁ in Cod. Gob. f. καὶ τὸν, vel ὃν
αἴσωπος ἀπὸ τοῦ κρημνοῦ ἀποχύναθαι ἕτερον ἔφη
λόγον, ἀνήρ τὶς τῆς ἰδίας ἐρασθεὶς θυγατρὸς καὶ ἔρω-
τι τρωθεὶς σατανικῷ, ἀπέστειλεν εἰς ἀγρὸν τὴν γυναῖκα
αὐτοῦ, τὴν δὲ θυγατέρα κρατήσας ἐβιάσατο. ἡ δὲ ἔ-
λεγε, πάτερ, ἀνόσια πράττεις. ἤθελον μᾶλλον ὑπὸ ἑ-
κατὸν ἀνδρῶν μοιχευθῆναι ἢ σοί. τοῦτο δὴ καὶ ἐφ' ὑ-
μῖν λέγω παράνομοι δελφοί. προαιρούμην σικε-
λίαν κακοπαθοῦντα κυκλοῦσαι ἢ ἐνθάδε παρανό-
μως ὑφ' ὑμῶν ἀποθανεῖν. καταρῶμαι δὲ ὑμᾶς